UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

Cap. XXX. De Georgio Alexandriae Episcopo, & de Episcopis Hierosolymorum: & quomodo cum post Cyrillum tres continua serie Episcopi facti fuissent, iterum Cyrillus sedem suam recepit.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

ἄθεος ὠνομάζετο, καὶ οἱ τὰ αὐτοῦ δοκιμάζοντες ἀνόμοιοι καὶ ἐξουκόντιοι. πυνθανομένων δὲ αὐτῶν τῶν ἑπομένων τοῖς ἐν νικαίᾳ δόξασιν, ὅπως Θεὸν ἐκ Θεοῦ τὸν υἱὸν συνομολογοῦντες, ἀνόμοιόν τε καὶ ἐξ οὐκ ὄντων καὶ παρὰ τὴν σφῶν αὐτῶν ἔκθεσιν ὀνομάζειν θαρροῦσιν· ὅτι καὶ Παῦλος ὁ ἀπόστολος, ἔφασαν, εἶπε, τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ· πάντων δὲ εἶναι καὶ τὸν υἱὸν ἐκ τούτου νοεῖσθαι τὸ προσκείμενον ἐν οἷς ἐξέθεντο, κατὰ τὰς θείας γραφάς· καὶ τὸ μὲν ὧδε μετέφραζον καὶ ἐσοφίζοντο· τελευτῶντες δὲ ὡς οὐχ οἷοί τε ἦσαν τοῖς περὶ τούτων ἐγκαλοῦσιν ἢ ὀνειδίζουσιν ἱκανῶς ἀπολογεῖσθαι, πάλιν τὴν ἐν κωνσταντινουπόλει δοκιμασθεῖσαν πίστιν ἀναγνόντες, διελύθησαν, καὶ εἰς τὰς αὐτῶν πόλεις ἀπεχώρησαν.

A dem ἄθεος cognominatus est: Sectatores autem illius Anomœi, & Exucontii sunt appellati. Interrogantibus autem ipsos Nicænæ fidei sectatoribus, quamobrem ipsi qui Filium Deum ex Deo esse confitebantur, dissimilem tamen, & ex nihilo ortum, idque contra suam ipsorum fidei formulam dicere auderent: respondebant, dictum esse à Paulo Apostolo, Omnia autem ex Deo: in omnibus autem comprehendi etiam Filium. Atque hoc modo intelligendum esse quod ipsi adjecerant in formula fidei suæ, secundum scripturas. Et hoc B quidem ita cavillantes interpretabantur. Postremo cum iis qui ipsos hoc nomine accusabant objurgabantque, satisfacere non possent, lectâ rursus fidei formulâ quæ Constantinopoli approbata fuerat, è Concilio discesserunt, & ad suas quisque sedes reversi sunt.

## Κεφ. λ'.

Περὶ γεωργίου τοῦ ἀντιοχείας, καὶ περὶ τῶν ἐν ἱεροσολύμοις ἀρχιερατευσάντων· καὶ ὅτι μετὰ κύριλλον τριῶν ἀρχιερέων προβάντων, πάλιν ὁ κύριλλος ἐπέβη τοῦ θρόνου τῆς ἱερουσαλήμ.

ΕΝ τούτῳ δὲ, ἔτι ἀθανασίου κρυπτομένου, ἐπανελθὼν γεώργιος εἰς ἀλεξάνδρειαν, χαλεπῶς ἐκάκου τούς τε ἕλληνας, καὶ τοὺς ἑτέρως αὐτοῦ δοξάζοντας χριστιανούς· ἑκατέρους τε γὰρ ὡς ἐβούλετο θρησκεύειν ἐβιάζετο, καὶ παραιτουμένους ἤλαυνεν· ἐμισεῖτο δὲ παρὰ μὲν τῶν ἐν λόγῳ, ὡς ὑπερφρονῶν αὐτούς, καὶ τοῖς ἄρχουσιν ἐπιτάττων· παρὰ δὲ τοῦ πλήθους, ὡς τυραννικός, καὶ πλέον πάντων δυνάμενος· ἐχαλέπαινε δὲ μάλιστα τὸ ἑλληνικόν, ὅτι τε θύειν αὐτοὺς καὶ τὰς πατρίους ἑορτὰς ἄγειν ἐκώλυε, καὶ στρατιώτας καὶ τὸν ἐν αἰγύπτῳ στρατηγὸν σὺν ὅπλοις ἐπεισαγαγὼν τῇ πόλει, εἰκόνας τε καὶ ἀναθήματα καὶ τὸν ἐν τοῖς ναοῖς κόσμον ἀφαιρούμενος· ἃ δὴ πρόφασις ὕστερον αὐτῷ ἐγένετο τῆς ἀναιρέσεως, ὡς αὐτίκα λέξω· κυρίλλου δὲ καθαιρεθέντος, ὡς εἴρηται, παραλαμβάνει τὴν ἱεροσολύμων ἐκκλησίαν ἐρέννιος, καὶ μετ' ἐκεῖνον ἡράκλειος· ἐφεξῆς τε τούτου, ἱλάριος· τούτους γὰρ ἐν τῷ τότε τὴν ἐνθάδε ἐκκλησίαν ἐπισκοπεῦσαι παρειλήφαμεν, μέχρι τῆς θεοδοσίου βασιλείας· ἡνίκα δὴ κύριλλος εἰς τὸν αὐτὸν πάλιν ἐπανῆλθε θρόνον.

## CAP. XXX.

*De Georgio Alexandriæ Episcopo, & de Episcopis Hierosolymorum: & quomodo cum post Cyrillum tres continua serie Episcopi facti fuissent, iterum Cyrillus sedem suam recepit.*

C PEr idem tempus cum Athanasius adhuc delitesceret, Georgius Alexandriam reversus, tum Gentiles, tum Christianos qui non idem cum ipso sentirent, graviter oppressit. Utrosque enim divinum numen prout ipse vellet, colere adigebat: detrectantes vero insectabatur. Invisus autem erat, primoribus quidem propterea quod arrogans esset, & præsidibus imperaret: plebejis vero, tanquam tyrannus, & qui plus posset unus quàm reliqui omnes. Sed præcipue Gentiles ei succensebant, eo quod sacrificare & festos dies patrio ritu D celebrare, ipsos prohiberet; inductisque in urbem militibus armatis, unà cum Duce Ægypti, imagines ac donaria, omnemque templorum ornatum abstulisset. Quæ res postea causam necis ei attulit, sicuti mox dicturus sum. Cyrillo vero quemadmodum diximus, deposito, Hierosolymorum Ecclesiam suscepit Erennius. Cui deinde Heraclius successit: Heraclio autem Hilarius. Istos enim Hierosolymitanam Ecclesiam administrasse accepimus, usque ad Principatum Theodosii. Quo quidem tempore Cyrillus sedem suam postliminio recuperavit.